www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τοὺς Ὁσίους Πατέρας Ὀνούφριον καὶ Πέτρον τὸν ἐν τῷ Ἄθῳ

Ἦχος πλ.δ'

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Ἕτερος εἰς τοὺς Ὁσίους Πατέρας Ὀνούφριον καὶ Πέτρον τὸν ἐν τῷ Ἄθῳ, οὗ ἡ ἀκροστιχίς, «Πατέρων ὁσίων μνήμην μέλπω», ἐν δὲ τοῖς Θεοτοκίοις «Ἱλαρίων Μ.» Ἦχος πλ.δ'

*Ὠιδὴ Α' Ἁρματηλάτην Φαραώ.*

Πατρὸς ἀνάρχου συμφυὲς ἀπαύγασμα, Λόγε Θεοῦ καὶ Θεέ, τὴν τοῦ Πνεύματός σου, χάριν μοι κατάπεμψον, τοῦ Παναγίου εὔσπλαγχνε, ὅπως ὕμνοις τοῦ θείου, τοῦ Ὀνουφρίου πανήγυριν, μέλψω τε καὶ Πέτρου τοῦ μάκαρος.

Ἀπαναστὰς τῶν ἐγκοσμίων ὅσιε, νήπιος ὢν κομιδῇ, τῷ Χριστῷ προσήχθης, πρὸς οὗ σοῦ γεννήτορος, Ὀνούφριε μακάριε, Σαμουὴλ ὥσπερ ἄλλος, καὶ τῇ ἀσκήσει διέλαμψας, ὡς φωστὴρ τοῦ κόσμου τοῖς πέρασι.

Τυραννικῶν ἐκλυτρωθεὶς πανόλβιε, τοῦ Νικολάου εὐχαῖς, τοῦ ἐν Ἱεράρχαις, τῶν ἀρκύων γέγονας, τῶν μοναζόντων θέμελθος, πέτρα Πέτρε τρισμάκαρ, τῶν ἐν τῷ Ἄθῳ καὶ ἔσοπτρον, καθαρὸν τῶν θείων ἐμφάσεων.

*Θεοτοκίον.*

Ἱλαρωτάτης ἐκ ψυχῆς Θεόνυμφε, ὕμνον οἰκτρὸν τουτονί, δεχομένη ὥσπερ, χήρας πρὶν ἐδέξατο, ὁ σὸς Υἱὸς τὸ δίλεπτον, μετανοίας μοι τρόπους, πρὸ τῆς τομῆς

καθυπόδειξον, ὅπως οἶδας Κόρη ὡς εὔσπλαγχνος.

*Ὠιδὴ Γ΄ Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Ἔρωτι θείῳ ἐκκαυθείς, τῆς ἡσυχίας θεόφρον, εἰς ἐρήμους ἐμακρύνθης ἐξ ὕψους, ἐμφανείας ἐντυχών, ἀγγελικῆς θεσπέσιε, καθοδηγοῦσαν τρίβῳ, πρὸς τὴν ἀμείνω Ὀνούφριε.

Ῥώμης ἀπάρας τῆς Ἁγνῆς, πρὸς τὴν Ἑώαν κελεύσει, τῆς θεόπαιδος μακάριε Πέτρε, τῇ ἐρήμῳ προσελθών, τοῦ Ἄθω κατεσκήνωσας, ὡς ἐν σταδίῳ πάλην, κατὰ δαιμόνων ἀράμενος.

Ὠιδαῖς καὶ ὕμνοις ἡ πληθύς, τῶν μοναστῶν ξυνωρίδα, τὴν θεόλεκτον γεραίροντες πόθῳ, αἰτησώμεθα Χριστῷ, πρεσβείαις ταύτης τεύξασθαι, εἰρηνικῶς τελέσαι, τὸν τῆς ζωῆς ἡμῶν δίαυλον.

*Θεοτοκίον.*

Λόγον Παρθένε τοῦ Πατρός, ἐν τῇ γαστρὶ συλλαβοῦσα, τοῖς ἐν κόσμῳ ἀπεκύησας Κόρη, καὶ Παρθένος ὥσπερ πρίν, ἀμόλυντε διέμεινας, Ἁγνὴ καὶ μετὰ τόκον, καὶ ἐσαεὶ Ἀειπάρθενος.

*Ὠιδὴ Δ΄ Σύ μου ἰσχύς.*

Νεανικῶς, τὰς παρατάξεις Ὀνούφριε, τῶν δαιμόνων, τέλεον ἠφάνισας, τῇ τοῦ

Παντάνακτος ἀρωγῇ, ὅνπερ θεοφόρε, ἐνοπτριζόμενος ἤσκησας, ἐρήμοις ἐν ἀβάτοις, καὶ ἀεὶ ἀναμέλπων, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὁλοσχερῶς, Πέτρε σαὐτόν ἀνατέθηκας, τῇ τοῦ Λόγου, Μητρὶ παναοίδιμε, καὶ ἐν καρδίᾳ ἀεὶ σοφέ, θείας ἀναβάσεις, ὡράθης Πάτερ ποιούμενος, ἐχθρῶν μηχανουργίας, διασπῶν καὶ τῷ Κτίστῃ, ἐκβοῶν τῇ δυνάμει σου δόξα σοι.

Σύμπας ὁμοῦ, τῶν μοναζόντων ὁ σύλλογος, τὴν δυάδα, τῶν ὁσίων σήμερον, ἐν ἐτησίοις ἐπικροτεῖ, ἑορτίοις ὕμνοις, καὶ ἐγκωμίοις ἐμπρέπουσι, τῷ θείῳ Ὀνουφρίῳ καὶ τῷ Πέτρῳ συνάμα, τοῖς ἀΰλοις ὡς ὄντως ἐν σώμασι.

*Θεοτοκίον.*

Ἁμαρτωλῶν, ἡ σωτηρία Πανάχραντε, τὴν ψυχήν μου, τὴν κατολισθήσασαν, τῆς ἀπογνώσεως τῷ βυθῷ ἔγειρόν μοι τάχει, ἡ τὴν πεσοῦσαν τῷ τόκῳ σου, τὴν βρότειον οὐσίαν, ἀναστήσασα Κόρη, καὶ Θεῷ Μαριὰμ καταλλάξασα.

*Ὠιδὴ Ε΄ Ἵνα τί με ἀπώσω.*

Ἰησοῦ θεοφόρε, τῷ Δεσπότῃ Πάτερ, ἀκλινῶς ἠτένιζες, τὰς ἐπαναστάσεις, τῶν παθῶν καταστέλων Ὀνούφριε, τῶν πανωλεθρίων,

καὶ ἐν ἀσκήσει διαλάμψας, οὐρανίου τροφῆς κατηξίωσαι.

Ὠμωτάτοις παλαίσας, Πέτρε παμμακάριστε ἐχθροῖς ὑπέμεινας, τὰς κακώσεις τούτων, καὶ ἐνέδρας παντοίως θλιβόμενος, καὶ τὰς τῶν στοιχείων, ἐπιφορὰς καρτεροφρόνως, ἀσκητῶν ἡ ἀκρότης μακάριε.

Νόμον ὅλως Πατέρες, ὑπερβάντες ὤφθητε ὄντως τῆς φύσεως, καὶ γὰρ ἐν μονώσει, τὸν καθάπαντα βίον ἠνύσατε, καὶ ἐν γυμνητεύσει, καὶι κακουχίαις θεοφόροι, τῆς ἀμείνω ζωῆς ἠξιώθητε.

*Θεοτοκίον.*
Ῥυπαρὰ Θεοτόκε, ὄντως ἔργα πέπραχα, καὶ ἐν τοῖς λόγοις μου, καὶ τῇ διανοίᾳ, τοῖς αὐτοῖς ἐπιμένω ὁ δείλαιος, ὡς καθαροτάτη, ἀκαθαρσίας με Παρθένε, φιλευσπλάγχνως ὡς οἶδας ἀπάλλαξον.

*Ὠιδὴ ΣΤ' Ἱλάσθητί μοι Σωτήρ.*
Μακάριος ἀληθῶς, ἐδείχθης Πάτερ Ὀνούφριε, βιώσας ἀγγελικῶς, τὴν γῆν κατεσκήνωσας, τῶν πραέων πάνσοφε, τῶν σὲ ἀνυμνούντων, τὰ αἰτήματα πληρούμενος.

Νικήσας τὸν ἰσχυρόν, ἐν τῇ ἰσχύει τοῦ Πνεύματος, νικητηρίων γερῶν, ὡς ὄντως ἠξίωσαι, θεομάκαρ ἅγιε, Πέτρε μοναζόντων, τῶν τοῦ Ἄθωνος ἐντρύφημα.

Ἡ οὐρανόφρων δυάς, τῶν θεοφόρων ὑμνείσθω μοι, τὰ πανευώδη τερπνά, τῆς ἐρήμου θρέμματα, ὁ σοφὸς Ὀνούφριος, σὺν τῷ θείῳ Πέτρῳ, τῶν Ἀγγέλων οἱ ἐφάμιλλοι.

*Θεοτοκίον.*

Ἰσχύεις ὄντως Ἁγνή, Παρθένε ὅσα καὶ βούλοιο, τῷ πεποιθότι κἀμοί, ἐν σοὶ τῇ ἰσχύει σου, καὶ βουλῇ Πανάχραντε, καὶ τῇ εὐσπλαγχνίᾳ σωτηρίας με ἀξίωσον.

*Ὠιδὴ Ζ΄ Θεοῦ συγκατάβασιν.*

Ματαίων τὸ ἄστατον, καὶ χαμαιζήλων καταφρονήσας σοφέ, ὑπεισῆλθες θεόφρον, τῷ τοῦ Κυρίου ὅσιε Πάτερ ἑκών, ζυγῷ καὶ χαίρων Ὀνούφριε ἔμελπες, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἠγρύπνησας ὅσιε, Πέτρε τῷ νόμῳ ἐμμελετῶν τοῦ Θεοῦ, διὰ τοῦτο ἐδείχθης, σαφῶς ταμεῖον τῶν θεουργῶν ἀρετῶν, καὶ ἀγαλλόμενος πάτερ ὑπέψαλλες, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Νυκτὸς ἐμακρύνθητε ἐξ ἔργων ὅσιοι τὸν σταυρὸν νουνεχῶς, τοῦ Κυρίου ἐπ᾽ ὤμων, ἄραντες πᾶσαν ἀσκητικὴν ἀγωγήν, χαρᾷ μακάριοι διεξήλθετε, ὑπερυψοῦντες ἀεί, τὸν τῶν Πατέρων Θεόν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Θεοτοκίον.
Ὡς ὄντως ἀνέκφραστον, καὶ ὑπὲρ φύσιν τῆς σῆς λοχείας Ἁγνή, τὸ μυστήριον πέλει, πῶς τὸν ἀσώματον τοῦ Ἀρχαγγέλου φωνῇ, εἰς σωτηρίαν κόσμου συνέλαβες, καὶ ὠδίνων μητρικῶν, δίχα ἐκύησας.

Ὠιδὴ Η´ Ἑπταπλασίως κάμινον.
Μετὰ σαρκὸς Ὀνούφριε, πολιτείαν ἐβίωσας, πάτερ τῶν Ἀγγέλων, καὶ δοχεῖον γέγονας, χαρίτων μακάριε, ἀρθεὶς εἰς ὕψη θεωριῶν, ἔτι περιών, τῷ βίῳ τούτῳ τρισμάκαρ, διὸ καὶ μετὰ πότμον, τῷ Χριστῷ συνεγένου, ὃν πάντοτε δυσώπει, ὑπὲρ τῶν σὲ ὑμνούντων.

Ἐπιτυχὼν μακάριε, ἐφετῶν τὸ ἀκρότατον, πόνοις καὶ ἱδρῶσι, Πέτρε τῆς ἀσκήσεως, ἐσκήνωσας ὅσιε, ἐκλελεγμένων ἐν ταῖς μοναῖς, νῦν τῷ Βασιλεῖ, παρεστηκὼς θεοφόρε, Χριστῷ ὃν τοῖς σοῖς τέκνοις, ἐκδυσώπει δοθῆναι, ἀμπλακημάτων λύσιν, θείῳ αὐτοῦ ἐλέει.

Λαμπροφανῶς πανόσιοι, τὴν ὁδὸν διανύσαντες, ὑμῶν ἐν ἀσκήσει, μακαρίας λήξεως, καὶ θείας πανόλβιοι, τετυχηκότες παρὰ Χριστοῦ, ᾧ ἐν οὐρανοῖς μετὰ ὁσίων συνόντες, Ὀνούφριε σὺν Πέτρῳ, μελῳδεῖτε ἀπαύστως, τὸν Κύριον ὑμνεῖτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Νενοσηκυῖαν Ἄχραντε, ἀνιάτως τὴν βρότειον, φύσιν τῷ σῷ τόκῳ, μόνη ἐθεράπευσας, καὶ ταύτην ἀνύψωσας, Κόρη τῷ θρόνῳ τῷ Πατρικῷ, ὅθεν οἱ χοροὶ καθυπερτέραν ὡς οὖσαν, τῆς κτίσεως ἁπάσης, καὶ βροτῶν καὶ Ἀγγέλλων, ἀπαύστως ἀνυμνοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ Θ΄ Ἐξέστη ἐπὶ τούτῳ.*

Πατέρων τῶν Ὁσίων τῶν μοναστῶν, αἱ χορεῖαι συμφώνως πανήγυριν, τῶν εὐκλεῶν, πόθῳ ἐκτελοῦντες ἐν ἱεροῖς, καὶ χαρμοσύνοις ἄσμασι, θείου Ὀνουφρίου καὶ σὺν αὐτῷ, τοῦ ἐν τῷ Ἄθῳ Πέτρου, τῶν ἐν ἀσκήσει κόσμῳ, διαλαμψάντων καὶ τοῖς θαύμασι.

Ὠιδαῖς πανεορτίοις τῶν εὐσεβῶν, ἡ πληθὺς τῶν Πατέρων τελέσωμεν, τὴν ἱεράν, μνήμην καὶ ἁγίαν τῶν ἀσκητῶν, τοῦ Ὀνουφρίου ἅμα τε, Πέτρου τοῦ θεόφρονος ὧν εὐχαῖς, Χριστὲ Σωτὴρ τὴν πίστιν, ἀεὶ τῶν χριστωνύμων, τῶν ὀρθοδόξων διαφύλαττε.

Ὠιδὴν Ἑξαπτερύγων τῶν Σεραφίμ, μελῳδοῦντες ἐν πίστει βοήσωμεν, ἅγιος εἶ, Πάτερ Παντοκράτορ Μονογενές, Υἱὲ καὶ Πνεῦμα Ἅγιον, μία Κυριότης τρισσολαμπής, καὶ μία Βασιλεία, καὶ φύσις καὶ οὐσία, Θεὲ οἰκτείρησον τὸν κόσμον σου.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μαρία τὸ γλυκύτατον καὶ τερπνόν, ἀκουόμενόν τε καὶ λαλούμενον, ὡς ἀληθῶς, ὄνομα καὶ θεῖον ἐν μοναστῶν, καρδίαις μελετώμενον, τουτονὶ τὸ Ὄρος ὃ σεαυτῇ, τοῦ Ἄθω ἐκληρώσω, περίσωζε καὶ σκέπε, καὶ εἰς αἰῶνας διαφύλαττε.

*Προσόμοια.*
*Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ΄*
Βίου τὰ ῥέοντα πάνσοφε, κάλλη λιπὼν τῷ Χριστῷ, θεοφόρε Ὀνούφριε, μάκαρ ἠκολούθησας, διαπύρῳ πανθαύμαστε, πόθῳ καὶ πάντη, ἔρημον ᾤκησας, καὶ τῆς ἀσκήσεως πόνοις ἔκτεινας, τὸν πανωλέθριον, ἰοβόλον δράκοντα, καὶ τὰς ὁρμάς, τῶν παθῶν ἀπήμβλυνας, θεομακάριστε.

Ὅσιε Πέτρε τὸ καύχημα, Ὄρους τοῦ Ἄθω σεπτόν, θεῖον ὄργανον γέγονας, τοῦ Ἁγίου Πνεύματος, τῶν φθαρτῶν βδελυξάμενος, τῶν ἀθανάτων ἐνοπτριζόμενος, πόνοις τρισμάκαρ ὑποβαλλόμενος, τοῖς τῆς ἀσκήσεως, δι᾽ ὧν καὶ ἐπέτυχες ἐν οὐρανοῖς, πρὸς Χριστοῦ πανόλβιε, τῶν ἀθανάτων γερῶν.

Δρόμον τελέσαντες Ὅσιοι, τῶν γεηρῶν τουτωνί, ἀποπτάντες ἐφθάσατε, εἰς τὰ ὑπερκόσμια, τῶν ἁγίων σκηνώματα, σοφὲ Ὀνούφριε Πέτρε ἔνδοξε, δυὰς ὁσίων ἡ θεοτίμητος, τοῖς τὴν πανέορτον, ἐκτελοῦσι

www.tezaurliturgic.ro


πάντοτε μνήμην ὑμῶν, τῷ Χριστῷ
πρεσβεύσατε, δοῦναι τὸ ἔλεος.

Δέσποινα Ἀγγέλων Ἄνασσα, τῶν Προφητῶν
ἡ χαρά, Ἀποστόλων τὸ κήρυγμα, τῶν
Μαρτύρων ἔρεισμα, τῶν Ὁσίων ἐντρύφημα,
σὺν Ὀνουφρίῳ καὶ Πέτρῳ πρέσβευε, τῇ
ξυνωρίδι τῇ οὐρανόφρονι, τῷ Παντοκράτορι,
τοῦ πυρὸς τοῦ μέλλοντος διαφυγεῖν, καὶ τῆς
ἄνω Ἄχραντε, ζωῆς ἡμᾶς ἐντυχεῖν.


ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ